10 ΦΕΒΡΟΥΑΡΙΟΥ

Χαραλάμπους ἱερομάρτυρος τοῦ θαυματουργοῦ (†202). Ἀναστασίου Ἰεροσολύμων, Ζήνωνος ὁσίου τοῦ ταχυδρόμου (δ΄ αἰ.).

Σημείωσις: Ἡ ἀκολουθία ἑορτάσιμος οὖσα ψάλλεται δίχα Παρακλητικῆς, ὡς ἔστι διατεταγμένη εἰς τὸ Μηναῖον.

* * * * *

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος ⸏ Δι ⸎



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.



ΑΠΟΛΥΤΙΚΙΑ

Τοῦ Ἁγίου.

Ταχὺ προκατάλαβε. Ἦχος ⸏ Δι ⸎



Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

[Τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ πολυέλεος τοῦ ἁγίου]

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Ἔργοις ἔλαμψας τῆς εὐσεβείας, πλάνην ἔσβεσας κακοδοξίας, ὡς τοῦ Χριστοῦ στρατιώτης Χαράλαμπες, καὶ παρανόμων τὰς

φάλαγγας ᾗσχυνας, τροπαιοφόρος παμμάκαρ γενόμενος. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Θαῦμα μέγιστον! πῶς ἐν ἀγκάλαις, σὺ ἐβάστασας Παρθενομῆτορ, τὸν ἐν δρακὶ αὐτοῦ τὰ πάντα συνέχοντα· καὶ ἐκ μαζῶν σου ἐξέθρεψας γάλακτι, τὸν τροφοδότην καὶ πλάστην τῆς φύσεως. Κόρη πάναγνε, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὡς φωστὴρ ἀνέτειλας ἐκ τῆς ἑῴας, καὶ πιστοὺς ἐφώτισας ταῖς τῶν θαυμάτων σου βολαῖς, Ἱερομάρτυς Χαράλαμπες· ὅθεν τιμῶμεν τὰ θεῖά σου λείψανα.

Δόξα. Ὅμοιον.

Ἱερὸν τὸ Πνεῦμά σε Ἱερομάρτυς, ἱερῶς ἀνέδειξε τὸ ἱερὸν θῦμα σοφέ, προσενεχθὲν ἱερώτατε, τῷ θείῳ λόγῳ ᾧ θείως δεδόξασαι.

Καὶ νῦν. Θεοτοκίον.

Μωϋσῆς ἑώρακε πυρφόρον βάτον, σὲ τὸ πῦρ βαστάσασαν τὸ τὰς ψυχὰς φωταγωγοῦν, καὶ μὴ φλεχθεῖσαν Πανάμωμε, δρόσου δὲ μᾶλλον πλησθεῖσαν τῆς χάριτος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν καθαρότητα Μάρτυς τοῦ βίου σου, καὶ τὸ ὑπέρλαμπρον τοῦ μαρτυρίου σου, καταπλαγεῖσα ἡ Ἑλλάς, βοᾷ σοι εὐφραινομένη· Σήμερον τιμῶμέν σου, κεφαλὴν τὴν σεβάσμιον· θραῦσον τὰ φρυάγματα, τῶν ἐχθρῶν ἡμῶν Ἅγιε, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν κινδύνων, καὶ νοσημάτων τοὺς ὑμνοῦντάς σε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ἀπειρόγαμον Θεογεννήτριαν, τὴν τὸν ἀχώρητον γαστρὶ χωρήσασαν, καὶ τὸν τροφέα τοῦ παντός, τῷ γάλακτι θρεψαμένην, μόνην ἐξισχύσασαν, τῆς κατάρας λυτρώσασθαι, γένος τὸ ἀνθρώπινον, τὴν πανάχραντον Δέσποιναν, ὑμνήσωμεν συμφώνως βοῶντες· Χαῖρε ἡ Κεχαριτωμένη.

* * *

ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἀντίφωνον Α΄.

Ἦχος Βου ξ




πο λε ε μει με ε πα α α θη η αλλ α
αυ τος α αν τι ι λα α α βȣ ȣ ȣ και σω ω ω
σον Σω ω τη η ηϱ μȣ ȣ
Ο ι μι σȣ ȣν τες Σι ω ω ων αι αι σχυ υν θη
η η τε ε ε ε α πο ο τȣ Κυ υ ϱι
ι ι ȣ ȣ ως χο ο ο ο ο ορ το ο ο
ο ος γαϱ πυ υ ϱι ι ι ι ι ε ε σε ε ε
σθε ε ε ε ε α πε ξη ϱα με ε ε νοι οι
Δ ο ξα Πα τρι και Υι ω ω και αι Α α γι
ι ω Πνε ευ μα α τι ι
Α γι ω Πνευ μα τι ι ι πα α α σα ψυ υ
χη ζω ω ου ου ου ται αι και κα α θα αϱ σει
υ ψου ου ου ται αι λα α αμ πρυ υ νε ε ε ται
τη η Τρι ι α δι κη η μο ο να α α δι ι ι
ι ι Ι ε ε ϱο κρυ υ φι ι ι ω ως
Κ αι νυν και α ει και εις τȣς αι ω νας των

αι ω ω νων α α μη ην

Α γι ω Πνευ μα α τι ι α να α βλυ υ υ

ζει τα α τη η ης χα α α α ρι το ος ρει

ει ει θρα α αρ δε ε ε ε ε ευ ο ο ο

ο ον τα α α α πα α σαν τη ην κτι ι ι σι ι

ι ι ιν προς ζω ω ω ο γο ο νι ι ι

α αν

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ϟα΄.

Ἦχος Βου ξ

Δι ι και ος ως φοι οι νιξ αν θη η σει και

ως η κεδ ρος η εν τω Λι βα νω πλη θυν θη σε ται

Στίχ. α΄. Πε φυ τευ με νος εν τω οι κω Κυ ρι ȣ

εν ταις αυ λαις τȣ Θε ȣ ȣ η μων ε ξαν θη σει

Δι ι και ος ως φοι οι νιξ αν θη η σει και

ως η κεδ ρος η εν τω Λι βα νω πλη θυν θη σε ται

Στίχ. β΄. Ο τι ευ θυς Κυ ρι ος ο Θε ος η



* * *

ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...
Ἀμήν.

Σταθερὸν Προκείμενον ὄρθρου.
Ψαλμὸς ρν΄ (150).

Ἦχος Δι



Στίχ. α΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.



Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.



Εὐαγγέλιον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Κύριε, ἐλέησον. (γ΄)

Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. (κα΄ 12-19).

Ὁ διάκονος· Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου τῆς ἑορτῆς ἀπὸ τῆς Ὡραίας Πύλης.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσιν γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέτε οὖν εἰς τὰς καρδίαις ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι



η μον ε ξα λει ψον τα πλη θη των ε μω ων εγ κλη μα

των

Εἶτα, Ἰδιόμελον.

Ἦχος Πα

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου

ε ξα λει ψον το α νο ο μη

μα α α α μȣ

Πα Δι

Φ α λα αγ γα θε ο στε ε φη φω το φα

Πα

νȣ ȣ ȣ ȣς μα αρ τυ υ υ ρος υ περ Χρι στȣ τυ

θει ει σα α αν προ ο θυ υ υ μως τον α γι ο λεκ

τον συ υν α σπι ι σμον τȣ Ι ε ρο μα α α αρ

τυ υ ρος Χα α ρα λα α α αμ πȣς φι λο μαρ

Δι Πα

τυ ρες δε ευ τε τι ι μη η σω ω ω ω μεν και

την παν ι ε ρον μνη μην α αυ τȣ πνευ μα τι

Δι

κω ω ως τε λε ε σα α α αν τες προς αυ τον

Πα

βο η η η η σω ω ω ω μεν της λοι μι κης α πει

Δι

ει λης τον ευ σε βο φρο να λα ον σȣ ε λε



Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

ΟΙ ΚΑΝΟΝΕΣ

Ψάλλεται ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς Ϛ΄, καὶ τοῦ Ἁγίου οἱ δύο εἰς ή΄.

Ὁ Κανὼν τῆς Θεοτόκου.

(ἐὰν ψαλῇ εἰς Ϛ΄, τότε ὁ εἱρμὸς δευτεροῦται).

Ὠδὴ α΄. Ὁ εἱρμός. Ἦχος πλ. δ΄.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσά σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Κανὼν πρῶτος τοῦ Ἁγίου. Ὠδὴ α΄.

Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Χοροβατῶν εὐφροσύνως τὰ νοητά, οὐρανῶν σκηνώματα, καὶ λαμπόμενος φωτί, ἀνεσπέρῳ ῥῦσαί με παθῶν, ταῖς πρεσβείαις σου σοφὲ ὅπως ὑμνήσω σε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἡ φωτοφόρος σου μνήμη ἡλιακάς, ἀπαστράπτει χάριτας, καὶ φωτίζει τοὺς πιστῶς, ἐν αὐτῇ τιμῶντάς σε χαρᾶς, λαμπροτάτης ἀληθῶς Μάρτυς ἐπώνυμε.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ταῖς τῶν αἱμάτων ῥανίσι τὴν ἁλμύραν, ἀπιστίας θάλασσαν, κατακλύσας ποταμός, εὐσεβείας γέγονας Χριστοῦ, καταρδεύων ἀληθῶς τὴν Ἐκκλησίαν ἀεί.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἁμαρτιῶν καταιγίδες καὶ λογισμῶν, ἐναντία κύματα, καὶ παθῶν ἐπαγωγαί, ἐπ᾽ ἐμὲ διήλθοσαν τῇ σῇ, Θεοτόκε κραταιᾷ πρεσβείᾳ σῶσόν με.

Κανὼν δεύτερος. Ὠδὴ α΄.
Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Τὴν κάραν τὴν πάνσεπτον, καὶ τὰ παλαίσματα Κύριε, ὑμνεῖν ἐφιέμενος, τοῦ σοῦ θεράποντος, θείαν ἔλλαμψιν ἐξ ὕψους ἐξαιτοῦμαι, δι᾽ ἧς ἀναμέλψασθαι, ταῦτα δυνήσομαι.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Σεβῆρον τὸν ἄθεον, τὸν ὠρυόμενον λέοντα, καθεῖλες Χαράλαμπες, σὺν Κρίσπῳ ἄφρονι, τὴν δυσσέβειαν τὴν τούτων ἀπελέγξας· ἀνθ᾽ ὧν ἐστεφάνωσαι, χειρὶ τοῦ Κτίστου σου.

Δόξα.

Βασίλειον κόσμον σε, ἡ Ἐκκλησία ἐκτήσατο, δαιμόνων διώκτην τε, θεῖε Χαράλαμπες, νοσημάτων τε παντοίων ἐλατῆρα· διὸ ἑορτάζει σου, τὴν μνήμην Ἅγιε.

Καὶ νῦν. Θεοτοκίον.

Μαρίαν τὴν ἄχραντον, καὶ Θεοτόκον ὑμνήσωμεν, τὸ ὄρος τὸ ἅγιον, στάμνον τὴν πάγχρυσον, τὴν βαστάσασαν τὸ φύσει θεῖον μάννα, τὸ τρέφον ἑκάστοτε, πιστοὺς τῇ χάριτι.

Τῆς Θεοτόκου. Ὠδὴ γ΄.
Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε· σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη Πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη Πανάχραντε.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

Τοῦ Ἁγίου. Ὠδὴ γ΄.

Ἦχος πλ. β΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Οὐκ ἔστιν ὅλως ἐξειπεῖν τῶν θαυμάτων τὰ πλήθη, ἅπερ ἔδρασας ἔτι, ἐν τῷ βίῳ περιών, καὶ πρὸς Θεὸν μετελθών, Ἀθλοφόρε Μάρτυς ἀξιάγαστε.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Δυνάμει θείᾳ κρατυνθεὶς τὸ ἀνίσχυρον θράσος, τῶν ἀνόμων καθεῖλες, στρατιώτης ὡς στερῤῥός, Χαράλαμπες ἀθλητά, ὡς ὁπλίτης θείας παρατάξεως.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Αἱμάτων ῥεύσαντες κρουνοὶ σοῦ τοῦ σώματος πᾶσαν, ἀσεβείας τὴν φλόγα, καὶ δεινὴν πυρκαϊάν, κατέσβεσαν· τῆς τρυφῆς, τὸν χειμάρρουν σοὶ δὲ προεξένησαν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἁγίων Ἅγιον Θεὸν τέτοκας Παναγία, ἁγιότητος οἶκος, δεδειγμένη καθαρός, καὶ πύλη μόνος Χριστός, ἣν διῆλθε σώζων τὸ ἀνθρώπινον.

Κανὼν δεύτερος. Ὠδὴ γ΄.

Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Τοὺς σοὺς ὑμνολόγους Θεοφόρε, πιστῶς συνελθόντας ἐν ναῷ, τὴν Κάραν προσκυνῆσαί σου, τὴν θείαν καὶ σεβάσμιον, φρούρει καὶ διαφύλαττε, σκανδάλων τοῦ πολεμήτορος.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Νεκρὸν νεανίαν ἀναστήσας, δαιμόνων ὀφθείς τε ἐλατήρ, πλήθη βροτῶν ἐξέστησας, καὶ τῷ Χριστῷ προσήγαγες, μαρτυρικῷ ἐν αἵματι, χειρῶν ἁρπάσας τοῦ δράκοντος.

Δόξα.

Δεῦτε ἡ πληθὺς τῶν Χριστωνύμων, Κυρίου τὸν Μάρτυρα πιστῶς, αἰνέσωμεν καὶ στέψωμεν, αὐτοῦ τὴν Κάραν ᾄσμασι, πνευματικοῖς τὴν πάνσεπτον, πταισμάτων λύσιν ὡς εὕρωμεν.

Καὶ νῦν. Θεοτοκίον.

Υἱὸν τοῦ Θεοῦ τὸν Θεὸν Λόγον, τὸν κόσμῳ ἀχώρητον παντί, ἐν σῇ γαστρὶ χωρήσασα, ἀγκάλαις σου ἐβάστασας, Παρθενομῆτορ ἄχραντε, Χριστιανῶν καταφύγιον.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Καθίσματα. Ἦχος γ΄. Θείας πίστεως.

Στῦλος ἄσειστος τῆς Ἐκκλησίας, λύχνος ἄσβεστος τῆς οἰκουμένης, ἀθλοφόρε ἀνεδείχθης Χαράλαμπες· καὶ ἀναλάμψας ἡλίου φαιδρότερον, τὴν τῶν εἰδώλων ἐλαύνεις σκοτόμαιναν. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὰ στίφη τῶν Πιστῶν, εὐσεβῶς συνελθόντα, τὸν Μάρτυρα Χριστοῦ, Χαραλάμπη τὸν μέγαν, ἀξίως εὐφημήσωμεν, εὐσεβείας τὸν πρόμαχον, ἀδαμάντινον, καὶ δυσσεβῶν καθαιρέτην, τὸν κηρύξαντα, Θεὸν τοῦ σύμπαντος κόσμου, Χριστὸν τὸν Θεάνθρωπον.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Θησαυρὸν πολύτιμον ἡ Ἐκκλησία, τὴν σὴν κάραν κέκτηται Ἱερομάρτυς Ἀθλητά, τροπαιοφόρε Χαράλαμπες· διὸ καὶ χαίρει τὸν Κτίστην δοξάζουσα.

Ὁ Οἶκος.

Τὸν στεῤῥὸν ὁπλίτην, καὶ Χριστοῦ στρατιώτην, καὶ μέγαν ἐν

Μάρτυσι, Χαραλάμπη τὸν πανένδοξον, συνελθόντες εὐφημήσωμεν· ὑπὲρ Χριστοῦ γὰρ καὶ τῆς ἀληθείας λαμπρῶς ἠγωνίσατο, καὶ τὴν ὀρθόδοξον πίστιν τρανῶς ἀνεκήρυξε, τὴν πλάνην τῶν εἰδώλων κατήργησε, βασιλέα παρανομώτατον ἤλεγξε, καὶ τὴν κάραν ἐτμήθη, χαίρων καὶ ἀγαλλόμενος· διὸ καὶ τὸν στέφανον εἴληφε παρὰ τῆς δεξιᾶς τοῦ Ὑψίστου, καὶ συμπολίτης Ἀγγέλων ἐγένετο. Ὅθεν ἡ Ἐκκλησία τῶν Ὀρθοδόξων, τούτου τὴν πάντιμον κάραν κατασπαζομένη, καὶ εὐφημίαις καταστέφουσα, καὶ πολλῶν δεινῶν καὶ νόσων ἀπαλλαττομένη, χαίρει τὸν Κτίστην δοξάζουσα.

Συναξάριον.

Τῇ Ι΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Χαραλάμπους. (†202)

Στίχ. Κατηξιώθης, Χαράλαμπες, ἐκ ξίφους
Καὶ λαμπρότητος καὶ χαρᾶς τῶν Μαρτύρων.

Τῇ δεκάτῃ, Χαράλαμπες, ἐὸν ἐτμήθης ἀπὸ λαιμόν.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι μάρτυρες, Βάπτος καὶ Πορφύριος, οἱ τιμωροῦντες τὸν ἅγιον Χαραλάμπη, ξίφει τελειοῦνται. (†202)

Στίχ. Πορφύριος καὶ Βάπτος ἐκ κοινοῦ ξίφους,
Ἀθλήσεως βάπτουσι κοινὴν πορφύραν.

Τῇ αὐτῇ ἡμέρᾳ, αἱ πιστεύσασαι ἅγιαι τρεῖς γυναῖκες ξίφει τελειοῦνται. (†202)

Στίχ. Τὰς τρεῖς γυναῖκας ἀῤῥενωποὺς μηνύει,
Ἄῤῥην ἀριθμός, ὁ τρία, πρὸς τὸ ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων καὶ παρθένων, Ἐνναθᾶ, Οὐαλεντίνης, καὶ Παύλου τῶν ἐν Παλαιστίνῃ. (†308)

Στίχ. Εἰς ἀῤῥαβῶνα παρθένοις κόραις δύο,
Ὁ νυμφίος δίδωσι θάρσος πρὸς φλόγα.

Ἐκεῖνος οὗτος Παῦλος ὁ Χριστοῦ φίλος,
Χριστοῦ πόθῳ τράχηλον ἐκτετμημένος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ζήνωνος τοῦ ταχυδρόμου. (δ΄ αἰ.)

Στίχ. Ζήνων τὰ τερπνὰ τῆς Ἐδὲμ ζητῶν μόνα,
Εἰς τέρψιν εἶχε τὴν λύσιν τοῦ σαρκίου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀναστασίου τοῦ β΄, ἀρχιεπισκόπου Ἱεροσολύμων. (†706)

Στίχ. Ἀναστάσιος, τὸν δρόμον τείνων πρόσω,
Γῆς ἐξαναστάς, πρὸς τὸν Ὕψιστον τρέχει.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀναστασίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. (†754)

Στίχ. Ἀναστάσιος, τὸν δρόμον τείνων πρόσω,
Γῆς ἐξαναστάς, πρὸς τὸν Ὑψιστον τρέχει.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Ζωτικοῦ, Εἰρηναίου, Ὑακίνθου, Ἀμαντίου καὶ τῶν σὺν αὐτοῖς, ἐν Ῥώμῃ ἀθλησάντων.

(†120)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων δέκα στρατιωτῶν μαρτύρων, ταφέντων παρὰ τῇ Λαβικανῇ ὁδῷ (Via Lavicana) ἐν Ῥώμῃ. (~†250)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας παρθενομάρτυρος Σωτηρῖδος τῆς ἐν Ῥώμῃ ἀθλησάσης ἐπὶ Διοκλητιανοῦ. (†304)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου καὶ ὁμολογητοῦ Σιλβανοῦ, ἐπισκόπου Ταρρακινῆς (Terracina) ἐν Ἰταλίᾳ. (~†443)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν μητρὸς Σχολαστικῆς, ἀδελφῆς τοῦ ὁσίου Βενεδίκτου. (†543)

Στίχ. Ἡ Σχολαστικὴ σχολάσασα τῷ βίῳ,
Χριστῷ σύνεστι ἀδελφῷ Βενεδίκτῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Βαλδεγούνδης (Baldegundis), ἡγουμένης τοῦ τιμίου Σταυροῦ ἐν Πικταβίῳ (Poitiers) τῆς Γαλλίας. (~†580)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Δεσιδεράτου (Desideratus), ἐπισκόπου Κλερμόντης (Clermont) ἐν Ὠβέρνῃ (Auvergne) τῆς Γαλλίας. (Ϛ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Πρωταγίου (Protagius), ἐπισκόπου Βεσοντίου (Besançon) ἐν Γαλλίᾳ. (†624)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Αὐστρεβέρθης (Austrebertha), ἡγουμένης Ἀμπβὶλ (Abbeville) καὶ Παβιλλὺ (Pavilly) ἐν τῇ βορείῳ Γαλλίᾳ. (†704)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Τρουμβίνου (Trumwine), τοῦ ἐν Ἀβερκόρνῳ (Abercorn) τῆς Σκοτίας, ἐπισκόπου τῶν νοτίων Πικτῶν. (~†704)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἐρλούφου (Erluph), ἐπισκόπου Βερδένου (Werden) ἐν Γερμανίᾳ, μαρτυρικῶς τελειωθέντος ὑπὸ τῶν εἰδωλωλατρῶν. (†830)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Σαλβίου (Salvius), ἡγουμένου τῆς μονῆς Ἀλβέλδης (Albelda) ἐν τῇ βορείῳ Ἱσπανίᾳ. (†962)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Μερβίννης (Merwinna), ἡγουμένης τοῦ κοινοβίου Ῥόμσεϋ (Romsey) ἐν Ἀγγλίᾳ. (†970)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας Ἄννης, πριγκιπίσσης Νόβγκοροντ καὶ Κιέβου. (†1050)

Στίχ. Ἄννα ἡ πρῴην βασίλισσα Εἰρήνη,
Εἰρηνικῶς ἔφθασεν Χριστὸν Εἰρήνην.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Προχόρου τῆς Λαύρας τῶν Σπηλαίων τοῦ Κιέβου. (†1107)

Στίχ. Ἅλας Χριστοῦ Πρόχορος ὢν ἐν τῷ βίῳ,
Εὐχῇ εἰς ἅλας τὴν σποδὸν μεταβάλλει.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Ἰωάννου Τσιμτσιμέλη ἐν Γεωργίᾳ, πολλὰ μοχθήσαντος διὰ μετάφρασιν τῆς ἁγιοπατερικῆς

γραμματείας εἰς γεωργιανὴν γλῶσσαν. (ιγ΄ αἰ.)

Στίχ. Ὁ μεταφραστὴς σοφίας τῶν Πατέρων,
Ἰωάννης σύνεστιν ἅμα Πατράσι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λογγίνου, κτίτορος τῆς μονῆς Κορυαζέμκᾳ ἐν Βολογκτᾷ. (†1540)

Στίχ. Οὐχ ὁ ἑκατόνταρχος οὗτος Λογγῖνος,
Ἀλλ᾽ ὅσιος θαύμασι κοσμήσας βίον.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ σύναξις τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἐπισκόπων τοῦ Νόβγκοροντ, Ἰωακείμ (†1030), Λουκᾶ (†1058), Γερμανοῦ (†1095), Ἀρκαδίου (†1163), Γρηγορίου (†1193), Μαρτυρίου (†1199), Ἀντωνίου (†1232), Βασιλείου (†1352), Συμεών (†1421), Γενναδίου (†1504), Σεραπίωνος (†1516), Ποιμένος (†1571) καὶ Ἀντωνίου (†1648).

Στίχ. Τρείσδεκα ἐπίσκοποι Νόβγκοροντ θεῖοι,
Ἀποστολικῶς τὸν βίον περαιοῦσι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Ῥαφαὴλ ἀρχιμανδρίτου (†1765) καὶ Ἰωαννικίου ἱερομονάχου (†1882), τῶν ἐν τῇ μονῇ Σβυατογκόρσκ.

Στίχ. Ῥαφαήλ καὶ Ἰωαννίκιος ἅμα,
Σβυατογκὸρσκ ἀστέρες ἔκλαμπροι δύω.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Ἀρεοβίνδου Κωνσταντινουπόλεως. (τὸ ὅραμα τῆς ἐκρήξεως)

Στίχ. Ἀεὶ γεραίρειν, τὴν μόνην χρὴ Παρθένον,
Ἅπασι τιμῆς τῆς ἄνω τὴν αἰτίαν.

Τῇ αὐτῇ ἡμέρᾳ, ἀνάμνησις εὐγνώμων τελεῖται ἐν Ζακύνθῳ τοῦ θαύματος τοῦ ἁγίου Χαραλάμπους, ὅτε διὰ τῆς μεσιτείας αὐτοῦ ἐῤῥύσθη ἡ πόλις ἐκ τῆς φοβερᾶς ἐπιδημίας πανώλους. (1831)

Στίχ. Χριστοῦ, λιταῖς σαῖς, λιμὸν ἐμφραξαμένου,
Ναῷ τιμᾷ σε ἥδε ῥυσθεῖσα πόλις.

Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Καταβασίαι σύντομαι τῆς Θεοτόκου. Ἦχος ⸗ Βου ξ

Ψάλλονται ἀπὸ τῆς 22ας Σεπτεμβρίου μέχρι τῆς 7ης Νοεμβρίου, ἀπὸ τῆς 10ης Φεβρουαρίου μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου, τῇ Β΄, Δ΄ καὶ Ε΄ Κυριακῇ τῶν νηστειῶν καὶ ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων Πάντων μέχρι τῆς 26ης Ἰουλίου.

ᾠδὴ α΄



ᾠδὴ γ΄



ᾠδὴ δ΄



ᾠδὴ ε΄





ᾠδὴ ϛ΄





ᾠδὴ ζ΄









ᾠδὴ η΄

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.





* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

1 



2 


κα ρι ϫ σι με πα σαι αι γε νε αι
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
3 Ο τι ε ποι η σε μοι με γα λει α ο
δυ να τος και α γι ον το ο νο μα αυ τϫ και
το ε λε ος αυ τϫ εις γε νε αν και γε νε
αν τοις φο βϫ με νοις αυ τον
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
4 Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ τϫ
δι ε σκορ πι σεν υ πε ρη φα νϫς δι α νοι

α καρ δι ας αυ των

Βȣ

Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο

ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι

α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε

ο το κον σε ε με γα λυ νο μεν

5 Βȣ

Κα θει λε δυ να στας α πο θρο νων και υ υ

ψω σε τα πει νȣ ȣς πει νων τας ε νε πλη σεν α γα

θω ων και πλȣ τȣ ȣν τας ε ξα πε στει λε κε

νȣ ȣς

Μ Βȣ Μ Δι

Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο

Μ Βȣ

ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α

φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως

Θε ο το κον σε ε με γα λυ νο μεν

6 Βȣ

Αν τε λα βε το Ισ ρα ηλ παι δος αυ τȣ

μνη σθη ναι ε λε ȣς κα θως ε λα λη σε προς



ᾠδὴ θ΄



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Τοῦ Ἁγίου.

Γυναῖκες ἀκουτίσθητε. Ἦχος Δι θ

Ε ν θε ως πυ υρ σευ ο ο με νος τω πο θω

τȣ ȣ Πα ντα α νακ τος τον υ πε ρη φα α νον ο

ο ο φιν αν δρει ως μα κα αρ κα θει ει λες και

τυ ραν νο ον α πα αν θρω πον Σε βη ρον το ον πα

ρα α φρο να η λεγ ξας ω Χα ρα α λαμ πες και τον

μι σθον ε ε κο μι ι σω πα ρα τȣ πα ντω ων Δε

σπο ο του

Θεοτοκίον.

Μ α ρι α κα α τα φυ υ γι ον Χρι στι α

νω ων το κα αυ χη μα φυ λατ τε σκε πε ε σȣς δȣ

ȣ ȣ λȣς εκ πα σης βλα βη ης α τρω ω τȣς κιν

δυ νων τε ε ξε λȣ ȣ η μας τȣς πο θω ε ευ φη

μȣ ȣν τας σε και πα σης πε ρι στα α σε ως ταις

σαις πρε σβει αι αις χρω με ε νη προς τον Υι ον και αι

Θε ο ον σου

* * *

ΑΙΝΟΙ

Ἦχος ⸎ Πα ϙ



Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν
τὰ ἑξῆς Στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. α΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Οἱ τῆς Ἑλλάδος νῦν παῖδες, δεῦτε συνδράμετε, καὶ τὴν τιμίαν κάραν, κατασπάσασθε πάντες, τοῦ θείου Χαραλάμπους τὴν τὸν Χριστόν, ἐν σταδίῳ κηρύξασαν, καὶ ἀπελέγξασαν πλάνην τῶν δυσσεβῶν, καὶ τὸν Κτίστην μεγαλύνασαν.

Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Οἱ τῆς Ἑλλάδος νῦν παῖδες, ...

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τοῖς οὐρανίοις Ἀγγέλοις, νῦν συνηρίθμησαι, καὶ παρεστὼς Τριάδι, τῇ Ἁγίᾳ τρισμάκαρ, αὐτὴν καθικετεύεις ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τιμώντων σου, τὴν πανσεβάσμιον κάραν καὶ τῶν δεινῶν, αἰτουμένων ἀπολύτρωσιν.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Λαμπροφανὴς καὶ πανένδοξος, ἀνατέταλκεν, ἐν τῇ Ἑλλάδι πάσῃ, ἡ πανέορτος μνήμη, τοῦ θείου Χαραλάμπους· διό περ λαμπρῶς, ἑορτάζει κατέχουσα, τὴν πανσεβάσμιον κάραν τὴν τὸν Χριστόν, ὡς Θεάνθρωπον κηρύξασαν.

Δόξα.

Ἦχος ⸎ Πα





Καὶ νῦν. Θεοτοκίον.

Ἦχος πλ. δ. Πα



* * *

Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον

Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Μανουὴλ Πρωτοψάλτου.

Ἦχος πλ. β΄ Πα



νος εκ δε ξι ω ων του Πα τρος και ε λε η σον η

μας

Ο τι συ ει μο νος Α γι ος Συ ει ει μο νος

Κυ ρι ος Ι η σους Χρι στος εις δο ξαν Θε ου Πα τρος α

μην

Κ αθ ε κα στην η με ραν ευ λο γη σω Σε και

αι νε ε σω το ο νο μα α Σου εις τον αι ω ω να

και εις τον αι ω να του αι ω ω νος

Κ α τα ξι ι ω σον Κυ ρι ε εν τη η με ρα

τα αυ τη α να μα ρτη τους φυ λα χθη ναι η μας

Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα τε

ε ρων η μων και αι νε το ον και δε δο ξα σμε ε

νον το ο νο μα α Σου εις τους αι ω νας α μην

Γ ε νοι το Κυ ρι ε το ε λε ος Σου εφ η μας κα

θα περ ηλ πι ι ι σα μεν ε πι Σε

Ε υ λο γη το ος ει Κυ ρι ε δι δα ξον με τα δι


(τρίς)
και ω μα τα Σϋ
Κυ ρι ε κα τα φυ γη ε γε νη η θης η μιν εν
γε νε α καιγε νε α ε γω ει πα Κυ ρι ε ε λε
η σο ον με ι α σαι την ψυ χην μου ου ο τι η μαρ
τον Σοι
Κυ ρι ε προς Σε κα τε φυ γον δι δα ξο ον με
του ποι ειν το θε λη μα α Σου ο τι Συ ει ο Θε ο ος
μου
Ο τι πα ρα Σοι πη γη ζω ης εν τω φω τι Σου
ο ψο με θα φως
Π α ρα τει νον το ε λε ος Σου ου τοις γι νω σκου
σι Σε
Α γι ος ο Θε ος Α γι ος Ι σχυ ρος Α γι
ος α θα να τος ε λε η σον η μας (τρίς)
Δ ο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα τι
Κ αι νυ υν και α ει και εις τους αι ω νας των

αι ω νων α μην

Α γι ος α θα να τος ε λε η σον η μας

Ἀσματικὸν.

Α γι ι ι ος ο Θε ε ο ος Α α α α

γι ι ος Ι ι σχυ υ υ ρος Α γι ος Α α α

θα να α τος ε ε λε η η σο ο ον η η η η μα

α α ας

Καὶ τὸ ἀπολυτίκιον τοῦ Ἁγίου.

Ταχὺ προκατάλαβε. Ἦχος Δι

Ω ς στυ λος α κλο νη τος της Εκ κλη σι ας Χρι στȣ

και λυχ νος α ει φω τος της οι κȣ με νης σο φε

ε δει χθης Χα ρα λαμ πες ε λαμ ψας εν τω κο σμω δι α

τȣ Μα αρ τυ ρι ȣ ε λυ σας των ει δω λων την σκο το

μαι ναν μα καρ δι ο εν παρ ρη σι α Χρι στω πρε

σβευ ε σω θη ναι η μα α ας

* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ

Τὰ ἑξαπλᾶ.

Ἦχος πλ. Νη ϩ



Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος πλ. Νη ϩ



Ἀθανασίου Καραμάνη.

Ἦχος Νη



καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ϟα΄ (91).

Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ϟα΄ 2)



Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ϟα΄ 3)



Στίχ. γ΄. Ὅτι εὐφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (Ϟα΄ 5)



Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (Ϟα΄ 16)



Δόξα. Καὶ νῦν.



Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς Ϟβ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (Ϟβ΄ 1)



Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (Ϟβ΄ 1)





Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (Ҧβ΄ 4)



Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (Ҧβ΄ 5)





Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.





παρ θε νȣ Μα ρι ι ας α τρε πτως ε ναν θρω πη

σας σταυ ρω θεις τε Χρι στε ο Θε ος θα να τω

θα να τον πα τη η σας εις ων της α γι ας Τρι

α α α δος συν δο ξα ζο ο με νος τω Πα τρι

και τω Α γι ω Πνε ευ μα τι σω σον η μα α

ας

Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. Ἦχος δ΄. Ψαλμὸς ξε΄ (65).

Ταχὺ προκατάλαβε. Ἦχος Δι

Στίχ. α΄. Ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον. (ξε΄ 10)

Στίχ. β΄. Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. (ξε΄ 11)

Στίχ. γ΄. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. (ξε΄ 12)

Ω ς στυ λος α κλο νη τος της Εκ κλη σι ας Χρι στȣ

και λυχ νος α ει φω τος της οι κȣ με νης σο φε

ε δει χθης Χα ρα λαμ πες ε λαμ ψας εν τω κο σμω δι α

τȣ Μα αρ τυ ρι ȣ ε λυ σας των ει δω λων την σκο το

μαι ναν μα καρ δι ο εν παρ ρη σι α Χρι στω πρε

σβευ ε σω θη ναι η μα ας

πρε σβευ ε σω θη ναι η μα α ας

* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι

Δε ευ τε προ σκυ νη σω μεν και προ σπε ε σω ω

μεν Χρι στω ω ω ω ω σω σον η μα ας Υι ε ε

Θε ου ο εν Α γι ι οι οις θαυ μα στο ο ο ο

ος

ὁ β΄ χορός: ψαλλον τας σοι αλ λη λυ υ ι α

Τὸ ἀπολυτίκιον τοῦ Ἁγίου.

Ταχὺ προκατάλαβε. Ἦχος Δι

Ως στυ λος α κλο νη τος της Εκ κλη σι ας Χρι στυ

και λυχ νος α ει φω τος της οι κυ με νης σο φε

ε δει χθης Χα ρα λαμ πες ε λαμ ψας εν τω κο σμω δι α

τυ Μα αρ τυ ρι υ ε λυ σας των ει δω λων την σκο το

μαι ναν μα καρ δι ο εν παρ ρη σι α Χρι στω πρε

Εἶτα τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ.

Δόξα. Κοντάκιον τοῦ Ἁγίου.

Ἐπεφάνης σήμερον. Ἦχος Βου ξ



Καὶ νῦν. Κοντάκιον τῆς Θεοτόκου.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ἦχος Δι



σον εις ι κε σι ι αν η προ στα τευ ου σα

α ει Θε ο το κε των τι μων των σε ε ε

* * *

ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος Δι

Α α γι ι ο ο ος ο ο ο Θε ο ο ο ος

α α γι ι ο ο ος ι ι ι σχυ ρο ο ο ος α

α γι ι ος α θα α να τος ε λε ε ε η σο ο

ον η μα ας

Τό τρίτον.

Α γι ος ο Θε ο ο ο ο ο ο ο

ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ος

α α γι ι ος α θα α να τος ε λε ε ε η

σο ο ον η μα ας

Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα

τι

Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω

νων α μην



Δύναμις τοῦ βήματος.

Ἦχος Δι











Δύναμις Ἰωάννου Παλάση. Ἦχος Δι







* * *

ΑΠΟΣΤΟΛΟΣ

Ἀπόστολος. Πρὸς Τιμόθεον Β΄ (β΄ 1-10).

(Ζήτει τῇ ΚΖ΄ Ὀκτωβρίου, τοῦ ἁγ. Δημητρίου).

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος βαρύς.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.
(Ψαλμὸς ξγ΄).

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

Ἢ ὁ ψάλτης.

Ἦχος Γα

Ευ φραν θη η σε ται δι καιος εν τω Κυ ρι ι ω
και ελ πι ει επ αυ τον και ε παι νε θη σον ται πα
αν τες οι ευ θει εις τη καρ δι ι α

Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ

α πο φο βȣ εχ θρȣ ε ξε λȣ ȣ την ψυ χη ην μȣ
Ευ φραν θη η σε ται δι καιος εν τω Κυ ρι ι ω
και ελ πι ει επ αυ τον και ε παι νε θη σον ται πα
αν τες οι ευ θει εις τη καρ δι ι α

΄. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων

α πο
πλη θȣς ερ γα ζο με νων την α δι κι ι αν
Ευ φραν θη η σε ται δι καιος εν τω Κυ ρι ι ω
και ελ πι ει επ αυ τον και ε παι νε θη σον ται πα

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω· δώῃ γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα (γ΄). Ἦχος δ΄. (Ψαλμὸς ϟα΄).

Ἦχος Δι





ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιε΄ 17-27, ιστ΄ 1-2).

(Ζήτει τῇ ΚΓ΄ Ἀπριλίου, εἰς τὴν Λειτουργίαν).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν

αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου. Ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Ἦχος ἀ Δι



Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος πλ. Δι




τε ε ε ε ε ε ε ε ες και αι αι αι
τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι
ζω ο ο ποι οι ω ω Τρι ι α α α α ϩα α α
α α α α α α α α α α α α Τρι α α
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α
Τ ω ων ο ο ο ο ο λω ω ω ω ων υ
πο ο δε ξο ο ο με νοι οι Ται αις α αγ γε



Τὰ παρόντα ἀπό τὴν "Θεία Λειτουργία" τοῦ Παναγιώτου Παππᾶ.

Ἦχος Δι





ἤ ἕτερον

Λειτουργικὰ σύντομα, Ἰωάννου Ἀρβανίτη.

Ἦχος Δι



Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος.

Ἀμήν.

* * *

Ἐτονίσθησαν ιζ΄ Αυγ. ,αϡζ΄, ἀντεγράφησαν ε΄ Ἰαν. ,βιϛ΄, ΙΑ.

Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι



Κοινωνικὸν εἰς μνήμας Ἁγίων.
Γρηγορίου Πρωτοψάλτου. Ἦχος β΄.

Ἦχος Πα



Πα
Μ
Ζ
Νη
Πα
Νη
Πα
Μ
Μ
Πα
Ζω
ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο
ο ο ο συ υ υ υ υ υ υ υ υ υ υ υ
υ υ υ χυ υ υ υ υ υ υ υ υ υ υ υ
υ υ υ υ υ υ υ υ υ υ υ υ υ υ υ
υ υ χυ υ υ υ υ υ υ υ υ υ υ υ υ
υ υ υ υ υ υ υ υ υ υ υ υ υ υ υ
υ υ υ υ χυ υ υ υ υ υ υ υ υ υ υ
υ υ υ υ υ υ υ υ υ υ υ υ υ υ υ
υ χυ υ υ υ υ υ υ υ υ υ υ χυ υ υ
υ υ υ υ υ εις μνη μο ο συ υ νο ο ο ον αι
ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω
ω ω ω ω ω χω ω ω ω ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω
ω ω ω ω ω ω ω χω ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι

Δι
Πα
Δι
Πα
Κε
Πα
Δι
Πα
Χισάρ Μπουσελίκ
Κε
Δι
Πα
ος A τα
τα



Ἦχος Δι



Ἦχος Δι



Ἦχος Δι


Ε
ι η το ο νο μα Κυ ρι ȣ ευ λο γη με
νον α πο τȣ νυν και ε ως τȣ αι ω ω νος
(δὶς)
Τ
ο ο νο μα Κυ ρι ȣ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τȣ νυν και ε ως
τȣ αι ω ω νο ο ος